eul_wid: nfc-aa

*Ἀνακρεόντεια* · Anacreontea

# Anacreontea

*Ἀνακρεόντεια*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἀνακρέων ἰδών με ὁ Τήϊος μελωιδός (ὄναρ λέγω) προσεῖπεν· κἀγὼ δραμὼν

book 1.2 πρὸς αὐτόν[ln_5]περιπλάκην

book 1.3 φιλήσας. γέρων μὲν ἦν, καλὸς δέ, καλὸς δὲ καὶ φίλευνος· τὸ χεῖλος ὦζεν οἴνου· τρέμοντα δ' αὐτὸν ἤδη[ln_10]Ἔρως ἐχειραγώγει. ὃ δ' ἐξελὼν καρήνου ἐμοὶ στέφος δίδωσι· τὸ δ' ὦζ' Ἀνακρέοντος. ἐγὼ δ' ὁ μωρὸς ἄρας[ln_15]ἐδησάμην μετώπωι· καὶ δῆθεν ἄχρι καὶ νῦν ἔρωτος οὐ πέπαυμαι.

book 2.1 Δότε μοι λύρην Ὁμήρου

book 2.2 φονίης ἄνευθε

book 2.3 χορδῆς· φέρε μοι κύπελλα θεσμῶν, φέρε μοι νόμους κεράσσας,[ln_5]μεθύων ὅπως

book 2.4 χορεύσω, ὑπὸ σώφρονος δὲ λύσσης μετὰ βαρβίτων ἀείδων τὸ παροίνιον βοήσω· δότε μοι λύρην Ὁμήρου[ln_10]φονίης ἄνευθε

book 2.5 χορδῆς.

book 3.1 Ἄγε, ζωγράφων ἄριστε, λυρικῆς ἄκουε Μούσης[ln_2] 〈*****[ln_2]*****〉 [ln_5]γράφε τὰς πόλεις τὸ πρῶτον ἱλαράς

book 3.2 τε καὶ γελώσας· ὁ δὲ κηρὸς ἂν δύναιτο, γράφε καὶ νόμους

book 3.3 φιλούντων.[ln_3]φιλοπαίγμονες δὲ Βάκχαι ἑτεροπνόους ἐναύλους[ln_4] 〈*****〉

book 4,1.1 Τὸν ἄργυρον

book 4,1.2 τορεύσας Ἥφαιστέ μοι

book 4,1.3 ποίησον

book 4,1.4 πανοπλίας μὲν οὐχί· τί γὰρ μάχαισι κἀμοί;[ln_5]ποτήριον δὲ κοῖλον ὅσον δύνηι βάθυνον. καὶ μὴ ποίει κατ' αὐτό μήτ' ἄστρα μήτ' Ἀμάξας, 〈μὴ στυγνὸν Ὠρίωνα·〉 [ln_10]τί Πλειάδων μέλει μοι, τί δ' ἀστέρος Βοώτεω; ποίησον ἀμπέλους μοι, καὶ βότρυας κατ' αὐτῶν,[ln_15] 〈ποίει δὲ ληνὸν οἴνου,〉 [ln_16/18]καὶ χρυσέους

book 4,1.5 πατοῦντας[ln_20]ὁμοῦ καλῶι Λυαίωι Ἔρωτα καὶ Βάθυλλον.

book 4,2.1 Τὸν ἄργυρον

book 4,2.2 τορεύσας Ἥφαιστέ μοι

book 4,2.3 ποίησον

book 4,2.4 πανοπλίαν μὲν οὐχί·[ln_5]ποτήριον δὲ κοῖλον ὅσον δύνηι βάθυνον. ποίει δέ μοι κατ’ αὐτοῦ μήτ’ ἄστρα μήτ’ Ἀμάξας, μὴ στυγνὸν Ὠρίωνα,[ln_12]ἀλλ’ ἀμπέλους

book 4,2.5 χλοώσας[ln_13/17]καὶ βότρυας γελῶντας[ln_20]σὺν τῶι καλῶι Λυαίωι.

book 4,3.1 Τὸν ἄργυρον

book 4,3.2 τορεύων Ἥφαιστέ μοι

book 4,3.3 ποίησον

book 4,3.4 πανοπλίαν μὲν οὐχί· τί γὰρ μάχαισι κἀμοί;[ln_5]ποτήριον δὲ κοῖλον ὅσον δύνηι βαθύνας. ποίει δέ μοι κατ’ αὐτοῦ μήτ’ ἄστρα μήτ’ Ἅμαξαν, μὴ στυγνὸν Ὠρίωνα·[ln_10]τί Πλειάδων μέλει μοι, τί γὰρ καλοῦ Βοώτου; ποίησον ἀμπέλους μοι, καὶ βότρυας κατ’ αὐτῶν, καὶ Μαινάδας

book 4,3.5 τρυγώσας·[ln_15]ποίει δὲ ληνὸν οἴνου ληνοβάτας

book 4,3.6 πατοῦντας

book 4,3.7 τοὺς

book 4,3.8 Σατύρους γελῶντας καὶ χρυσέους Ἔρωτας καὶ Κυθέρην γελῶσαν[ln_20]ὁμοῦ καλῶι Λυαίωι. {Ἔρωτα κἀφροδίτην.}

book 5.1 Καλλιτέχνα, τόρευσον ἔαρος κύπελλον ἤδη· τὰ πρῶτ’ ἡμῖν τὰ τερπνά ῥόδα φέρουσαν ὥρην.[ln_5]ἀργύρεον δ’ ἁπλώσας

book 5.2 ποτὸν

book 5.3 ποίει μοι

book 5.4 τερπνόν· τῶν

book 5.5 τελετῶν, παραινῶ, μὴ ξένον μοι

book 5.6 τορεύσηις, μὴ φευκτὸν ἱστόρημα·[ln_10]μᾶλλον

book 5.7 ποίει Διὸς γόνον, Βάκχον Εὔιον ἡμῖν. μύστις νάματος ἢι Κύπρις ὑμεναίους κροτοῦσα· χάρασς’ Ἔρωτας ἀνόπλους[ln_15]καὶ Χάριτας γελώσας ὑπ’ ἄμπελον εὐπέταλον εὐβότρυον κομῶσαν· σύναπτε κούρους εὐπρεπεῖς ἀν μη Φοῖβος ἀθύρηι.

book 6.1 Στέφος

book 6.2 πλέκων

book 6.3 ποτ’ εὗρον ἐν

book 6.4 τοῖς ῥόδοις Ἔρωτα, καὶ τῶν

book 6.5 πτερῶν κατασχών ἐβάπτις’ εἰς τὸν οἶνον,[ln_5]λαβὼν δ’ ἔπιον αὐτόν· καὶ νῦν ἔσω μελῶν μου

book 6.6 πτεροῖσι γαργαλίζει.

book 7 Λέγουσιν αἱ γυναῖκες· ‘Ἀνάκρεον, γέρων εἶ· λαβὼν ἔσοπτρον ἄθρει κόμας μὲν οὐκέτ’ οὔσας,[ln_5]ψιλὸν δέ σευ μέτωπον.‘ ἐγὼ δὲ τὰς κόμας μέν, εἴτ’ εἰσὶν εἴτ’ ἀπῆλθον, οὐκ οἶδα· τοῦτο δ’ οἶδα, ὡς τῶι γέροντι μᾶλλον[ln_10]πρέπει τὸ τερπνὰ παίζειν, ὅσωι πέλας τὰ Μοίρης.

book 8.1 Οὔ μοι μέλει τὰ Γύγεω τοῦ Σαρδίων ἄνακτος, οὐδ’ εἷλέ πώ με ζῆλος, οὐδὲ φθονῶ τυράννοις.[ln_5]ἐμοὶ μέλει μύροισιν καταβρέχειν ὑπήνην, ἐμοὶ μέλει ῥόδοισιν καταστέφειν κάρηνα· τὸ σήμερον μέλει μοι,[ln_10]τὸ δ’ αὔριον τίς οἶδεν; ὡς οὖν ἔτ’ εὔδι’ ἔστιν, καὶ πῖνε καὶ κύβευε καὶ σπένδε τῶι Λυαίωι, μὴ νοῦσος ἤν

book 8.2 τις ἔλθηι[ln_15]λέγηι

book 8.3 σε μηδὲ πίνειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 9.1 Ἄφες με, τοὺς θεούς

book 9.2 σοι, πιεῖν, πιεῖν ἀμυστί· θέλω, θέλω μανῆναι. [para]ἐμαίνετ’ Ἀλκμέων

book 9.3 τε χὼ λευκόπους Ὀρέστης τὰς μητέρας κτανόντες· [para]ἐγὼ δὲ μηδένα κτάς, πιὼν δ’ ἐρυθρὸν οἶνον θέλω, θέλω μανῆναι. ἐμαίνετ’ Ἡρακλῆς

book 9.4 πρίν, δεινὴν κλονῶν

book 9.5 φαρέτρην καὶ τόξον Ἰφίτειον· [para]ἐμαίνετο

book 9.6 πρὶν Αἴας, μετ’ ἀσπίδος κραδαίνων τὴν Ἕκτορος μάχαιραν· [para]ἐγὼ δ’ ἔχων κύπελλον καὶ στέμμα

book 9.7 τοῦτο

book 9.8 χαίτης {οὐ τόξον, οὐ μάχαιραν,} θέλω, θέλω μανῆναι.

book 10.1 Τί σοι θέλεις

book 10.2 ποιήσω, τί σοι, λάλευ χελιδόν; τὰ ταρσά σευ τὰ κοῦφα θέλεις λαβὼν

book 10.3 ψαλίξω, ἢ μᾶλλον ἔνδοθέν

book 10.4 σευ τὴν γλῶσσαν, ὡς ὁ Τηρεύς ἐκεῖνος, ἐκθερίξω; τί μευ καλῶν ὀνείρων ὑπορθρίαισι

book 10.5 φωναῖς ἀφήρπασας Βάθυλλον;

book 11.1 Ἔρωτα κήρινόν

book 11.2 τις νεηνίης ἐπώλει· ἐγὼ δέ οἱ παραστάς ‘πόσου θέλεισ‘ ἔφην ‘σοι τὸ τυχθὲν ἐκπρίωμαι;‘ ὃ δ’ εἶπε δωριάζων ‘λάβ’ αὐτὸν ὁππόσου λῇις. ὅπως 〈δ’〉 ἂν ἐκμάθηις πᾶν, οὐκ εἰμὶ κηροτέχνας, ἀλλ’ οὐ θέλω

book 11.3 συνοικεῖν Ἔρωτι

book 11.4 παντορέκται.‘ ‘δὸς οὖν, δὸς αὐτὸν ἡμῖν δραχμῆς, καλὸν σύνευνον.‘ Ἔρως, σὺ δ’ εὐθέως με πύρωσον· εἰ δὲ μή, σύ κατὰ φλογὸς

book 11.5 τακήσηι.

book 12.1 Οἱ μὲν καλὴν Κυβήβην τὸν ἡμίθηλυν Ἄττιν ἐν οὔρεσιν βοῶντα λέγουσιν ἐκμανῆναι· οἱ δὲ Κλάρου

book 12.2 παρ’ ὄχθαις δαφνηφόροιο

book 12.3 Φοίβου λάλον

book 12.4 πιόντες ὕδωρ μεμηνότες βοῶσιν· [para]ἐγὼ δὲ τοῦ Λυαίου καὶ τοῦ μύρου κορεσθείς καὶ τῆς ἐμῆς ἑταίρης θέλω, θέλω μανῆναι.

book 13.1 {θέλω, θέλω

book 13.2 φιλῆσαι.} Ἔπειθ’ Ἔρως

book 13.3 φιλεῖν με· ἐγὼ δ’ ἔχων νόημα ἄβουλον οὐκ ἐπείσθην. ὃ δ’ εὐθὺ τόξον ἄρας καὶ χρυσέην

book 13.4 φαρέτρην μάχηι με

book 13.5 προυκαλεῖτο· κἀγὼ λαβὼν ἐπ’ ὤμων θώρηχ’ ὅπως Ἀχιλλεύς καὶ δοῦρα καὶ βοείην ἐμαρνάμην Ἔρωτι. ἔβαλλ’, ἐγὼ δ’ ἔφευγον· ὡς δ’ οὐκέτ’ εἶχ’ ὀιστούς, ἤσχαλλεν, εἶτ’ ἑαυτόν ἀφῆκεν εἰς βέλεμνον· μέσος δὲ καρδίης μευ ἔδυνε καί μ’ ἔλυσεν. μάτην δ’ ἔχω βοείην· τί γὰρ βάλωμεν ἔξω, μάχης ἔσω μ’ ἐχούσης;

book 14.1 Εἰ φύλλα πάντα δένδρων ἐπίστασαι κατειπεῖν, εἰ κύματ’ οἶδας εὑρεῖν τὰ τῆς ὅλης θαλάσσης, σὲ τῶν ἐμῶν ἐρώτων μόνον

book 14.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποῶ λογιστήν. πρῶτον μὲν ἐξ Ἀθηνῶν ἔρωτας εἴκοσιν θές καὶ πεντεκαίδεκ’ ἄλλους. ἔπειτα δ’ ἐκ Κορίνθου θὲς ὁρμαθοὺς ἐρώτων· Ἀχαΐης γάρ ἐστιν, ὅπου καλαὶ γυναῖκες. τίθει δὲ Λεσβίους μοικαὶ μέχρι τῶν Ἰώνων καὶ Καρίης Ῥόδου

book 14.3 τε δισχιλίους ἔρωτας. τί φήις; ἄγει καρωθείς; οὔπω Σύρους ἔλεξα,οὔπω πόθους Κανώβου, οὐ τῆς ἄπαντ’ ἐχούσης Κρήτης, ὅπου πόλεσσιν Ἔρως ἐποργιάζει. τί δ’ οὐ θέλεις ἀριθμεῖνκαὶ τοὺς Γαδείρων ἐκτός, τῶν Βακτρίων

book 14.4 τε κἰνδῶν

book 14.5 ψυχῆς ἐμῆς ἔρωτας;

book 15.1 Ἐρασμίη πέλεια, πόθεν, πόθεν πέτασαι; πόθεν μύρων

book 15.2 τοσούτων ἐπ’ ἠέρος θέουσαπνέεις

book 15.3 τε καὶ ψεκάζεις; τίς εἶ, τί σοι μέλει δέ; ‘Ἀνακρέων μ’ ἔπεμψε

book 15.4 πρὸς

book 15.5 παῖδα, πρὸς Βάθυλλον τὸν ἄρτι τῶν ἁπάντωνκρατοῦντα καὶ τυράννων. πέπρακέ μ’ ἡ Κυθήρη λαβοῦσα μικρὸν ὕμνον ἐγὼ δ’ Ἀνακρέοντι διακονῶ τοσαῦτα·καὶ νῦν, ὁρᾶις, ἐκείνου ἐπιστολὰς κομίζω. καί φησιν εὐθέως με ἐλευθέρην

book 15.6 ποιήσειν· ἐγὼ δέ, κἢν ἀφῆι με,δούλη μενῶ παρ’ αὐτῶι. τί γάρ με δεῖ πέτασθαι ὄρη

book 15.7 τε καὶ κατ’ ἀγρούς καὶ δένδρεσιν καθίζειν

book 15.8 φαγοῦσαν ἄγριόν

book 15.9 τι;

book 15.1 τὰ νῦν ἔδω μὲν ἄρτον ἀφαρπάσασα

book 15.2 χειρῶν Ἀνακρέοντος αὐτοῦ, πιεῖν δέ μοι δίδωσι τὸν οἶνον ὃν

book 15.3 προπίνει,πιοῦσα δ’ ἀγχορεύω καὶ δεσπότην κρέκοντα

book 15.4 πτεροῖσι

book 15.5 συγκαλύπτω· κοιμωμένου δ’ ἐπ’ αὐτῶι τῶι βαρβίτωι καθεύδω.ἔχεις ἅπαντ’· ἄπελθε· λαλιστέραν μ’ ἔθηκας, ἄνθρωπε, καὶ κορώνης.‘

book 16.1 Ἄγε, ζωγράφων ἄριστε, {γράφε, ζωγράφων ἄριστε,} Ῥοδίης κοίρανε τέχνης, ἀπεοῦσαν, ὡς ἂν εἴπω,γράφε τὴν ἐμὴν ἑταίρην. γράφε μοι

book 16.2 τρίχας τὸ πρῶτον ἁπαλάς

book 16.3 τε καὶ μελαίνας· ὁ δὲ κηρὸς ἂν δύνηται, γράφε καὶ μύρου

book 16.4 πνεούσας.γράφε δ’ ἐξ ὅλης

book 16.5 παρειῆς ὑπὸ πορφυραῖσι

book 16.6 χαίταις ἐλεφάντινον μέτωπον. τὸ μεσόφρυον δὲ μή μοι διάκοπτε μήτε μίσγε,ἐχέτω δ’, ὅπως ἐκείνη, τὸ λεληθότως σύνοφρυν βλεφάρων ἴτυν κελαινήν. τὸ δὲ βλέμμα νῦν ἀληθῶς ἀπὸ τοῦ πυρὸς

book 16.7 ποίησον,

book 16.1 ἅμα γλαυκὸν ὡς Ἀθήνης, ἅμα δ’ ὑγρὸν ὡς Κυθήρης. γράφε ῥῖνα καὶ παρειάς ῥόδα τῶι γάλακτι μίξας· γράφε

book 16.2 χεῖλος οἷα

book 16.3 Πειθοῦς,προκαλούμενον φίλημα. τρυφεροῦ δ’ ἔσω γενείου

book 16.4 περὶ λυγδίνωι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 16.5 τραχήλωι Χάριτες πέτοιντο πᾶσαι. στόλισον τὸ λοιπὸν αὐτήν ὑποπορφύροισι πέπλοις, διαφαινέτω δὲ σαρκῶν ὀλίγον, τὸ σῶμ’ ἐλέγχον. ἀπέχει· βλέπω γὰρ αὐτήν· τάχα κηρὲ καὶ λαλήσεις.

book 17.1 Γράφε μοι Βάθυλλον οὕτω τὸν ἑταῖρον ὡς διδάσκω· λιπαρὰς κόμας

book 17.2 ποίησον, τὰ μὲν ἔνδοθεν μελαίνας, τὰ δ’ ἐς ἄκρον ἡλιώσας· ἕλικας δ’ ἐλευθέρους μοι

book 17.3 πλοκάμων ἄτακτα

book 17.4 συνθείς ἄφες ὡς θέλωσι κεῖσθαι. ἁπαλὸν δὲ καὶ δροσῶδες στεφέτω μέτωπον ὀφρῦς κυανωτέρη δρακόντων. μέλαν ὄμμα γοργὸν ἔστω, κεκερασμένον γαλήνηι, τὸ μὲν ἐξ Ἄρηος ἕλκον, τὸ δὲ τῆς καλῆς Κυθήρης, ἵνα

book 17.5 τις τὸ μὲν

book 17.6 φοβῆται, τὸ δ’ ἀπ’ ἐλπίδος κρεμᾶται. ῥοδέην δ’ ὁποῖα μῆλον

book 17.7 χνοΐην

book 17.8 ποίει

book 17.9 παρειήν·

book 17.1 ἐρύθημα δ’ ὡς ἂν Αἰδοῦς δύνασαι βαλεῖν

book 17.2 ποίησον. τὸ δὲ χεῖλος οὐκέτ’ οἶδα τίνι μοι

book 17.3 τρόπωι

book 17.4 ποιήσεις ἁπαλόν, γέμον

book 17.5 τε

book 17.6 Πειθοῦς· τὸ δὲ πᾶν ὁ κηρὸς αὐτός ἐχέτω λαλῶν

book 17.7 σιωπῆι. μετὰ δὲ πρόσωπον ἔστω τὸν Ἀδώνιδος

book 17.8 παρελθών ἐλεφάντινος

book 17.9 τράχηλος. μεταμάζιον δὲ ποίει διδύμας

book 17.10 τε χεῖρας Ἑρμοῦ, Πολυδεύκεος δὲ μηρούς, Διονυσίην δὲ νηδύν· ἁπαλῶν δ’ ὕπερθε μηρῶν, μαλερὸν τὸ πῦρ ἐχόντων, ἀφελῆ ποίησον αἰδῶ Παφίην θέλουσαν ἤδη.

book 17.1 φθονερὴν ἔχεις δὲ τέχνην, ὅτι μὴ τὰ νῶτα δεῖξαι δύνασαι· τὰ δ’ ἦν ἀμείνω. τί με δεῖ πόδας διδάσκειν· λάβε μισθὸν ὅσσον εἴπῃς, τὸν Ἀπόλλωνα δὲ τοῦτον καθελὼν

book 17.2 ποίει Βάθυλλον· ἢν δ’ ἐς Σάμον

book 17.3 ποτ’ ἔλθῃς, γράφε

book 17.4 Φοῖβον ἐκ Βαθύλλου.

book 18.1 Δότε μοι, δότ’ ὦ γυναῖκες Βρομίου

book 18.2 πιεῖν ἀμυστί· ἀπὸ καύματος γὰρ ἤδη

book 18.3 προδοθεὶς ἀναστενάζω· δότε δ’ ἀνθέων, ἑλίνου· στεφάνους δότ’ οἷς

book 18.4 πυκάζω τὰ μέτωπά μου, ’πικαίει. τὸ δὲ καῦμα τῶν ἐρώτων, κραδίη, τίνι

book 18.5 σκεπάζω; παρὰ τὴν

book 18.6 σκιὴν Βαθύλλου καθίσω· καλὸν τὸ δένδρον, ἁπαλὰς δ’ ἔσεισε

book 18.7 χαίτας μαλακωτάτωι κλαδίσκωι· παρὰ δ’ αὐτὸ νέρθε ῥοιζεῖ πηγὴ ῥέουσα

book 18.8 Πειθοῦς. τίς ἂν οὖν ὁρῶν

book 18.9 παρέλθοι καταγώγιον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 18.10 τοιοῦτο;

book 19.1 Αἱ Μοῦσαι τὸν Ἔρωτα δήσασαι

book 19.2 στεφάνοισι τῶι Κάλλει

book 19.3 παρέδωκαν· [para]καὶ νῦν ἡ Κυθέρεια[ln_5]ζητεῖ λύτρα φέρουσα λύσασθαι τὸν Ἔρωτα. [para]κἂν λύσηι δέ τις αὐτόν, οὐκ ἔξεισι, μενεῖ δέ· δουλεύειν δεδίδακται.

book 20.1 Ἡδυμελὴς Ἀνακρέων, ἡδυμελὴς δὲ Σαπφώ· Πινδαρικὸν δ’ ἔτι μοι μέλος

book 20.2 συγκεράσας

book 20.3 τις ἐγχέοι.[ln_5]τὰ τρία

book 20.4 ταῦτά μοι δοκεῖ καὶ Διόνυσος ἐλθών καὶ Παφίη λιπαρόχροος καὐτὸς Ἔρως ἂν ἐκπιεῖν.

book 21.1 Ἡ γῆ μέλαινα πίνει, πίνει δένδρεα δ’ αὖ γῆν πίνει θάλασς’ ἀναύρους, ὁ δ’ ἥλιος θάλασσαν, [ln_5]τὸν δ’ ἥλιον

book 21.2 σελήνη· τί μοι μάχεσθ’, ἑταῖροι, καὐτῶι θέλοντι πίνειν;

book 22.1 Ἡ Ταντάλου

book 22.2 ποτ’ ἔστη λίθος

book 22.3 Φρυγῶν ἐν ὄχθαις, καὶ παῖς

book 22.4 ποτ’ ὄρνις ἔπτη

book 22.5 Πανδίονος

book 22.6 χελιδών.[ln_5]ἐγὼ δ’ ἔσοπτρον εἴην, ὅπως ἀεὶ βλέπηις με· ἐγὼ χιτὼν γενοίμην, ὅπως ἀεὶ φορῆις με. [para]ὕδωρ θέλω γενέσθαι,[ln_10]ὅπως

book 22.7 σε χρῶτα λούσω· μύρον, γύναι, γενοίμην, ὅπως ἐγώ ς’ ἀλείψω. [para]καὶ ταινίη δὲ μασθῶι καὶ μάργαρον

book 22.8 τραχήλωι[ln_15]καὶ σάνδαλον γενοίμην· μόνον

book 22.9 ποσὶν πάτει με.

book 23.1 Θέλω λέγειν Ἀτρεΐδας, θέλω δὲ Κάδμον ἄιδειν, ὁ βάρβιτος δὲ χορδαῖς ἔρωτα μοῦνον ἠχεῖ. [ln_5]ἤμειψα νεῦρα

book 23.2 πρώην καὶ τὴν λύρην ἅπασαν· κἀγὼ μὲν ἦιδον ἄθλους Ἡρακλέους, λύρη δέ ἔρωτας ἀντεφώνει. [ln_10]χαίροιτε λοιπὸν ἡμῖν, ἥρωες· ἡ λύρη γάρ μόνους ἔρωτας ἄιδει.

book 24.1 Φύσις κέρατα

book 24.2 ταύροις, ὁπλὰς δ’ ἔδωκεν ἵπποις, ποδωκίην λαγωοῖς, λέουσι χάσμ’ ὀδόντων,[ln_5]τοῖς ἰχθύσιν τὸ νηκτόν, τοῖς ὀρνέοις πέτασθαι, τοῖς ἀνδράσιν

book 24.3 φρόνημα· γυναιξὶν οὐκέτ’ εἶχεν. τί οὖν; δίδωσι κάλλος[ln_10]ἀντ’ ἀσπίδων ἁπασῶν, ἀντ’ ἐγχέων ἁπάντων· νικᾶι δὲ καὶ σίδηρον καὶ πῦρ καλή τις οὖσα.

book 25.1 Σὺ μέν, φίλη

book 25.2 χελιδόν, ἐτησίη μολοῦσα θέρει

book 25.3 πλέκεις καλιήν, χειμῶνι δ’ εἶς ἄφαντος[ln_5]ἢ Νεῖλον ἢ ’πὶ Μέμφιν· Ἔρως δ’ ἀεὶ πλέκει μευ ἐν καρδίηι καλιήν. Πόθος δ’ ὃ μὲν

book 25.4 πτεροῦται, ὃ δ’ ὠιόν ἐστιν ἀκμήν,[ln_10]ὃ δ’ ἡμίλεπτος ἤδη· βοὴ δὲ γίνετ’ ἀεί κεχηνότων νεοττῶν· Ἐρωτιδεῖς δὲ μικρούς οἱ μείζονες

book 25.5 τρέφουσιν·[ln_15]οἵ δὲ τραφέντες εὐθύς πάλιν κύουσιν ἄλλους. τί μῆχος οὖν γένηται; οὐ γὰρ

book 25.6 σθένω

book 25.7 τοσούτους Ἔρωτας ἐκσοβῆσαι.

book 26 Σὺ μὲν λέγεις τὰ Θήβης, ὃ δ’ αὖ Φρυγῶν ἀυτάς, ἐγὼ δ’ ἐμὰς ἁλώσεις. οὐχ ἵππος ὤλεσέν με, οὐ πεζός, οὐχὶ νῆες, στρατὸς δὲ καινὸς ἄλλος ἀπ’ ὀμμάτων με βάλλων.

book 27.1 Ἐν ἰσχίοις μὲν ἵπποι

book 27.2 πυρὸς χάραγμ’ ἔχουσιν· καὶ Παρθίους

book 27.3 τις ἄνδρας ἐγνώρισεν

book 27.4 τιάραις· ἐγὼ δὲ τοὺς ἐρῶντας ἰδὼν ἐπίσταμ’ εὐθύς· ἔχουσι γάρ

book 27.5 τι λεπτόν

book 27.6 ψυχῆς ἔσω χάραγμα.

book 28.1 Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης

book 28.2 παρὰ Λημνίαις καμίνοις τὰ βέλη τὰ τῶν Ἐρώτων ἐπόει λαβὼν σίδηρον· ἀκίδας δ’ ἔβαπτε Κύπρις μέλι τὸ γλυκὺ λαβοῦσα· ὁ δ’ Ἔρως

book 28.3 χολὴν ἔμισγε. ὁ δ’ Ἄρης

book 28.4 ποτ’ ἐξ ἀυτῆς

book 28.5 στιβαρὸν δόρυ κραδαίνων βέλος ηὐτέλιζ’ Ἔρωτος· ὁ δ’ Ἔρως ‘τόδ’ ἐστὶν‘ εἶπεν ‘βαρύ· πειράσας νοήσεισ‘. ἔλαβεν βέλεμνον Ἄρης· ὑπεμειδίασε Κύπρις· ὁ δ’ Ἄρης ἀναστενάξας ‘βαρύ·‘ φησιν, ‘ἆρον αὐτό.‘ ὁ δ’ Ἔρως ‘ἔχ’ αὐτό‘ φησιν.

book 29.1 Χαλεπὸν τὸ μὴ φιλῆσαι, χαλεπὸν δὲ καὶ φιλῆσαι· χαλεπώτερον δὲ πάντων ἀποτυγχάνειν

book 29.2 φιλοῦντα.

book 29a.1 Γένος οὐδὲν εἰς ἔρωτα· σοφίη, τρόπος

book 29a.2 πατεῖται· μόνον ἄργυρον βλέπουσιν. ἀπόλοιτο

book 29a.3 πρῶτος αὐτός ὁ τὸν ἄργυρον

book 29a.4 φιλήσας. [para]διὰ τοῦτον οὐκ ἀδελφός, διὰ τοῦτον οὐ τοκῆες· πόλεμοι, φόνοι δι’ αὐτόν· τὸ δὲ χεῖρον, ὀλλύμεσθα διὰ τοῦτον οἱ φιλοῦντες.

book 30.1 Ἐδόκουν ὄναρ

book 30.2 τροχάζειν

book 30.3 πτέρυγας φέρων ἐπ’ ὤμων, ὁ δ’ Ἔρως ἔχων μόλιβδον

book 30.4 περὶ τοῖς καλοῖς

book 30.5 ποδίσκοις ἐδίωκε καὶ κίχανεν. [para]τί θέλει δ’ ὄναρ τόδ’ εἶναι; δοκέω δ’ ἔγωγε· πολλοῖς ἐν ἔρωσί με

book 30.6 πλακέντα διολισθάνειν μὲν ἄλλους, ἑνί τωι δὲ συνδεθῆναι.

book 31.1 Ὑακινθίνηι με ῥάβδωι

book 31.2 χαλεπῶς Ἔρως ῥαπίζων ἐκέλευε

book 31.3 συντροχάζειν. διὰ δ’ ὀξέων μ’ ἀναύρων ξυλόχων

book 31.4 τε καὶ φαράγγων

book 31.5 τροχάοντα

book 31.6 τεῖρεν ἱδρώς· κραδίη δὲ ῥινὸς ἄχρις ἀνέβαινε, κἂν ἀπέσβην. ὁ δ’ Ἔρως μέτωπα

book 31.7 σείων ἁπαλοῖς

book 31.8 πτεροῖσιν εἶπεν· ‘σὺ γὰρ οὐ δύνηι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 31.9 φιλῆσαι;‘

book 32.1 Ἐπὶ μυρσίναις

book 32.2 τερείναις ἐπὶ λωτίναις

book 32.3 τε ποίαις

book 32.4 στορέσας θέλω

book 32.5 προπίνειν· ὁ δ’ Ἔρως

book 32.6 χιτῶνα δήσας ὑπὲρ αὐχένος

book 32.7 παπύρωι μέθυ μοι διακονείτω. [para]τροχὸς ἅρματος γὰρ οἷα βίοτος

book 32.8 τρέχει κυλισθείς, ὀλίγη δὲ κεισόμεσθα κόνις ὀστέων λυθέντων. τί σε δεῖ λίθον μυρίζειν; τί δὲ γῆι χέειν μάταια; [para]ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ, μύρισον, ῥόδοις δὲ κρᾶτα πύκασον, κάλει δ’ ἑταίρην· πρίν, Ἔρως, ἐκεῖ μ’ ἀπελθεῖν ὑπὸ νερτέρων

book 32.9 χορείας, σκεδάσαι θέλω μερίμνας.

book 33.1 Μεσονυκτίοις

book 33.2 ποτ’ ὥραις, στρέφετ’ ἦμος Ἄρκτος ἤδη κατὰ χεῖρα τὴν Βοώτου, μερόπων δὲ φῦλα πάντα κέαται κόπωι δαμέντα, τότ’ Ἔρως ἐπισταθείς μευ θυρέων ἔκοπτ’ ὀχῆας. ‘τίσ‘ ἔφην ‘θύρας ἀράσσει, κατά μευ

book 33.3 σχίσας ὀνείρους;‘ ὁ δ’ Ἔρως ‘ἄνοιγε,‘ φησίν, ‘βρέφος εἰμί, μὴ φόβησαι· βρέχομαι δὲ κἀσέληνον κατὰ νύκτα

book 33.4 πεπλάνημαι.‘ ἐλέησα

book 33.5 ταῦτ’ ἀκούσας, ἀνὰ δ’ εὐθὺ λύχνον ἅψας ἀνέωιξα, καὶ βρέφος μέν ἐσορῶ φέροντα τόξον

book 33.6 πτέρυγάς

book 33.7 τε καὶ φαρέτρην· παρὰ δ’ ἱστίην καθίξας παλάμαις

book 33.8 τε χεῖρας αὐτοῦ ἀνέθαλπον, ἐκ δὲ χαίτης ἀπέθλιβον ὑγρὸν ὕδωρ. ὃ δ’ ἐπεὶ κρύος μεθῆκε ‘φέρε‘ φησὶ ‘πειράσωμεν τόδε τόξον, εἴ τί μοι νῦν βλάβεται βραχεῖσα νευρή.‘ τανύει δέ, καί με τύπτει μέσον ἧπαρ ὥσπερ οἶστρος· ἀνὰ δ’ ἅλλεται καχάζων·

book 33.1 ‘ξένε‘ δ’ εἶπε ‘συγχάρηθι· κέρας ἀβλαβὲς μένει μοι· σὺ δὲ καρδίαν

book 33.2 πονήσεις.‘

book 34.1 Μακαρίζομέν

book 34.2 σε, τέττιξ, ὅτε δενδρέων ἐπ’ ἄκρων ὀλίγην δρόσον

book 34.3 πεπωκώς βασιλεὺς ὅπως ἀείδεις. σὰ γάρ ἐστι κεῖνα πάντα, ὁπόσα βλέπεις ἐν ἀγροῖς κοπόσα φέρουσιν ὗλαι. σὺ δὲ φείδεαι γεωργῶν, ἀπὸ μηδενός

book 34.4 τι βλάπτων· σὺ δὲ τίμιος βροτοῖσιν, θέρεος γλυκὺς

book 34.5 προφήτης. φιλέουσι μέν

book 34.6 σε Μοῦσαι, φιλέει δὲ Φοῖβος αὐτός, λιγυρὴν δ’ ἔδωκεν οἴμην· τὸ δὲ γῆρας οὔ σε

book 34.7 τείρει. σοφέ, γηγενής, φίλυμνε, ἀπαθής, ἀναιμόσαρκε·

book 34 σχεδὸν εἶ θεοῖς ὅμοιος.

book 35.1 Ἔρως

book 35.2 ποτ’ ἐν ῥόδοισι κοιμωμένην μέλιτταν οὐκ εἶδεν, ἀλλ’ ἐτρώθη. τὸν δάκτυλον

book 35.3 παταχθείς τᾶς

book 35.4 χειρὸς ὠλόλυξε, δραμὼν δὲ καὶ πετασθείς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 35.5 πρὸς τὴν καλὴν Κυθήρην ‘ὄλωλα, μῆτερ,‘ εἶπεν, ‘ὄλωλα κἀποθνήσκω·[ln_10]ὄφις μ’ ἔτυψε μικρός

book 35.6 πτερωτός, ὃν καλοῦσιν μέλιτταν οἱ γεωργοί.‘ ἃ δ’ εἶπεν· ‘εἰ τὸ κέντρον

book 35.7 πονεῖς τὸ τᾶς μελίττας,[ln_15]πόσον δοκεῖς

book 35.8 πονοῦσιν, Ἔρως, ὅσους σὺ βάλλεις;‘

book 36.1 Ὁ Πλοῦτος εἴ γε

book 36.2 χρυσοῦ τὸ ζῆν

book 36.3 παρεῖχε θνητοῖς, ἐκαρτέρουν

book 36.4 φυλάττων, ἵν’ ασθενεῖν ἐπέλη[ln_5]λάβηι

book 36.5 τι καὶ παρέλθηι. [para]εἰ δ’ οὖν μὴ τὸ πρίασθαι τὸ ζῆν ἔνεστι θνητοῖς, τί καὶ μάτην

book 36.6 στεγάζω; {τί καὶ γόους

book 36.7 προπέμπω;}[ln_10]θανεῖν γὰρ εἰ πέπρωται, τί χρυσὸς ὠφελεῖ με; [para]ἐμοὶ γένοιτο πίνειν, πιόντι δ’ οἶνον ἡδύν ἐμοῖς φίλοις

book 36.8 συνεῖναι,[ln_15]ἐν δ’ ἁπαλαῖσι κοίταις

book 36.9 τελεῖν τὰν Ἀφροδίταν.

book 37.1 Διὰ νυκτὸς ἐγκαθεύδων ἁλιπορφύροις τάπησι γεγανυμένος Λυαίωι ἐδόκουν ἄκροισι

book 37.2 ταρσῶν[ln_5]δρόμον ὠκὺν ἐκτανύειν μετὰ παρθένων ἀθύρων· ἐπεκερτόμουν δὲ παῖδες ἁπαλώτεροι Λυαίου, δακέθυμά μοι λέγοντες[ln_10]διὰ τὰς καλὰς ἐκείνας. ἐθέλοντι δὲ φιλῆσαι φύγον ἐξ ὕπνου μοι πάντες, μεμονωμένος δ’ ὁ τλήμων πάλιν ἤθελον καθεύδειν.

book 38.1 Ἱλαροὶ πίωμεν οἶνον, ἀναμέλψομεν δὲ Βάκχον, τὸν ἐφευρετὰν

book 38.2 χορείας, τὸν ὅλας

book 38.3 ποθοῦντα μολπάς,[ln_5]τὸν ὁμότροπον Ἐρώτων, τὸν ἐρώμενον Κυθήρης· [para]δι’ ὃν ἡ Μέθη λοχεύθη, δι’ ὃν ἡ Χάρις ἐτέχθη, δι’ ὃν ἀμπαύεται Λύπα,[ln_10]δι’ ὃν εὐνάζετ’ Ἀνία. [para]τὸ μὲν οὖν πῶμα κερασθέν ἁπαλοὶ φέρουσι

book 38.4 παῖδες, τὸ δ’ ἄχος πέφευγε μιχθέν ἀνεμοστρόφωι θυέλληι.[ln_15]τὸ μὲν οὖν πῶμα λάβωμεν, τὰς δὲ φροντίδας μεθῶμεν· τί γάρ ἐστί σοι 〈τὸ〉 κέρδος ὀδυνωμένωι μερίμναις; [para]πόθεν οἴδαμεν τὸ μέλλον;

book 38.1 [ln_20]ὁ βίος βροτοῖς ἄδηλος. μεθύων θέλω

book 38.2 χορεύειν μεμυρισμένος

book 38.3 τε παίζειν[ln_22] 〈*****〉 μετὰ καὶ καλῶν γυναικῶν μελέτω δὲ τοῖς θέλουσι,[ln_25]ὅσον ἐστὶν ἐν μερίμναις. [para]ἱλαροὶ πίωμεν οἶνον, ἀναμέλψομεν δὲ Βάκχον.

book 39.1 Φιλῶ γέροντα

book 39.2 τερπνόν, φιλῶ νέον

book 39.3 χορευτάν· ἂν δ’ ὁ γέρων

book 39.4 χορεύηι, τρίχας γέρων μέν ἐστιν,[ln_5]τὰς δὲ φρένας νεάζει.

book 40.1 Ἐπειδὴ βροτὸς ἐτύχθην βιότου

book 40.2 τρίβον ὁδεύειν, χρόνον ἔγνων ὃν

book 40.3 παρῆλθον, ὃν δ’ ἔχω δραμεῖν οὐκ οἶδα.[ln_5]μέθετέ με

book 40.4 φροντίδες· μηδέν μοι χὔμιν ἔστω. πρὶν ἐμὲ φθάσηι τὸ τέλος. παίξω, γελάσω, χορεύσω μετὰ τοῦ καλοῦ Λυαίου.

book 41.1 Ἠ καλόν ἐστι βαδίζειν ὅπου λειμῶνες κομῶσιν, ὅπου λεπτὸς ἡδυτάτην ἀναπνεῖ Ζέφυρος αὔρην,κλῆμά τε Βάκχιον ἰδεῖν χὐπὸ τὰ πέταλα δῦναι ἁπαλὴν

book 41.2 παῖδα κατέχων Κύπριν ὅλην

book 41.3 πνέουσαν.

book 42.1 Ποθέω μὲν Διονύσου

book 42.2 φιλοπαίγμονος

book 42.3 χορείας, φιλέω δ’ ὅταν ἐφήβου μετὰ συμπότου λυρίζω·στεφανίσκους δ’ ὑακίνθων κροτάφοισιν ἀμφιπλέξας μετὰ παρθένων ἀθύρειν

book 42.4 φιλέω μάλιστα πάντων. [para]φθόνον οὐκ οἶδ’ ἐμὸν ἦτορ·{φθόνον οὐκ οἶδα δαϊκτόν·} φιλολοιδόροιο γλώττης ἔφυγον βέλεμνα κοῦφα· στυγέω μάχας

book 42.5 παροίνους. [para]πολυκώμους κατὰ δαῖταςνεοθηλέσιν ἅμα κούραις ὑπὸ βαρβίτωι

book 42.6 χορεύων βίον ἥσυχον

book 42.7 φεροίμην.

book 43.1 Στεφάνους μὲν κροτάφοισι ῥοδίνους

book 43.2 συναρμόσαντες μεθύωμεν ἁβρὰ γελῶντες. ὑπὸ βαρβίτωι δὲ κούρακατακίσσοισι βρέμοντας

book 43.3 πλοκάμοις φέρουσα θύρσους

book 43.4 χλιδανόσφυρος

book 43.5 χορεύει· ἁβροχαίτας δ’ ἅμα κοῦρος

book 43.6 στομάτων ἁδὺ πνεόντωνκατὰ πηκτίδων ἀθύρει

book 43.7 προχέων λίγειαν ὀμφάν. ὁ δ’ Ἔρως ὁ χρυσοχαίτας μετὰ τοῦ καλοῦ Λυαίου καὶ τῆς καλῆς Κυθήρηςτὸν ἐπήρατον γεραιοῖς κῶμον μέτεισι

book 43.8 χαίρων.

book 44.1 Τὸ ῥόδον τὸ τῶν Ἐρώτων μίξωμεν Διονύσωι· τὸ ῥόδον τὸ καλλίφυλλον κροτάφοισιν ἁρμόσαντεςπίνωμεν ἁβρὰ γελῶντες. [para]ῥόδον ὦ φέριστον ἄνθος, ῥόδον εἴαρος μέλημα, {ῥόδα καὶ θεοῖσι

book 44.2 τερπνά,} ῥόδον ὧι

book 44.3 παῖς ὁ Κυθήρηςστέφεται καλοὺς ἰούλους

book 44.4 Χαρίτεσσι

book 44.5 συγχορεύων· [para]στέψον οὖν με, καὶ λυρίξω

book 44.6 παρὰ σοῖς Διόνυσε

book 44.7 σηκοῖς μετὰ κούρης βαθυκόλπουῥοδίνοισι

book 44.8 στεφανίσκοις

book 44.9 πεπυκασμένος

book 44.10 χορεύσω.

book 45.1 Ὅταν πίνω τὸν οἶνον, εὕδουσιν αἱ μέριμναι. τί μοι πόνων, τί μοι γόων, τί μοι μέλει μεριμνῶν; θανεῖν με δεῖ, κἂν μὴ θέλω τί δὲ τὸν βίον

book 45.2 πλανῶμαι· πίωμεν οὖν τὸν οἶνον τὸν

book 45.3 τοῦ καλοῦ Λυαίου· σὺν τῶι δὲ πίνειν ἡμᾶςεὕδουσιν αἱ μέριμναι.

book 46.1 Ἴδε πῶς ἔαρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 46.2 φανέντος Χάριτες ῥόδα βρύουσιν· ἴδε πῶς κῦμα θαλάσσης ἁπαλύνεται γαλήνηι·[ln_5]ἴδε πῶς νῆσσα κολυμβᾶι ἴδε πῶς γέρανος ὁδεύει. ἀφελῶς δ' ἔλαμψε

book 46.3 Τιτάν, νεφελῶν

book 46.4 σκιαὶ δονοῦνται, τὰ βροτῶν δ' ἔλαμψεν ἔργα,[ln_10]καρποῖσι γαῖα

book 46.5 προκύπτει, καρπὸς ἐλαίας προκύπτει· Βρομίου

book 46.6 στέφεται νᾶμα κατὰ φύλλον κατακλόνον καθελων ἤνθισε καρπός.

book 47.1 Ἐγὼ γέρων μέν εἰμι, νέων

book 47.2 πλέον δὲ πίνω[ln_2] 〈*****〉 [ln_4]σκῆπτρον ἔχων τὸν ἀσκόν[ln_5]ὁ νάρθηξ δ' οὐδέν ἐστιν. [para]ὁ μὲν θέλων μάχεσθαι, πάρεστι γάρ, μαχέσθω· ἐμοὶ κύπελλον ὦ παῖ μελιχρὸν οἶνον ἡδύν[ln_10]ἐγκεράσας φόρησον. [para]ἐγὼ γέρων μέν εἰμι,[ln_11a] 〈νέων

book 47.3 πλέον δὲ πίνω·〉 [ln_3]κἂν δεήσηι με

book 47.4 χορεύειν,[ln_12]Σιληνὸν ἐν μέσοισι μιμούμενος

book 47.5 χορεύσω.

book 48 Ὅταν ὁ Βάκχος ἔλθηι, εὕδουσιν αἱ μέριμναι, δοκῶ δ' ἔχειν τὰ Κροίσου. θέλω καλῶς ἀείδειν·[ln_5]κισσοστεφὴς δὲ κεῖμαι, πατῶ δ' ἅπαντα θυμῶι. ὅπλιζ'· ἐγὼ δὲ πίνω. φέρε μοι κύπελλον ὦ παῖ· μεθύοντα γάρ με κεῖσθαι[ln_10]πολὺ κρεῖσσον ἢ θανόντα.

book 49.1 Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος, ὁ λυσίφρων ὁ Λυαῖος, ὅταν εἰς

book 49.2 φρένας τὰς ἐμάς εἰσέλθηι μεθυδώτας,[ln_5]διδάσκει με

book 49.3 χορεύειν. [para]ἔχω δέ τι καὶ τερπνόν ὁ τᾶς μέθας ἐραστάς· μετὰ κρότων, μετ' ὠιδᾶς τέρπει με κἀφροδίτα·[ln_10]πάλιν θέλω

book 49.4 χορεύειν.

book 50.1 Ὅτ' ἐγὼ πίω τὸν οἶνον, τότ' ἐμὸν ἦτορ ἰανθέν 〈μέλοσ〉 ἄρχεται λιγαίνειν, 〈ἀναβάλλεται δὲ〉 Μούσας.[ln_5]ὅτ' ἐγὼ πίω τὸν οἶνον, ἀπορίπτονται μέριμναι

book 50.2 πολυφρόντιδές

book 50.3 τε βουλαί ἐς ἁλικτύπους ἀήτας. [para]ὅτ' ἐγὼ πίω τὸν οἶνον,[ln_10]λυσιπήμων τότε Βάκχος

book 50.4 πολυανθέσιν 〈μ'〉 ἐν αὔραις δονέει μέθηι γανώσας. [para]ὅτ' ἐγὼ πίω τὸν οἶνον, στεφάνους ἄνθεσι

book 50.5 πλέξας[ln_15]ἐπιθείς

book 50.6 τε τῶι καρήνωι βιότου μέλπω γαλήνην. [para]ὅτ' ἐγὼ πίω τὸν οἶνον, μύρωι εὐώδεϊ τέγξας δέμας, ἀγκάλαις δὲ κούρην[ln_20]κατέχων, Κύπριν ἀείδω. [para]ὅτ' ἐγὼ πίω τὸν οἶνον, ὑπὸ κυρτοῖσι κυπέλλοις τὸν ἐμὸν νόον ἁπλώσας θιάσωι τέρπομαι κούρων.

book 50 [ln_25]ὅτ' ἐγὼ πίω τὸν οἶνον, τοῦτ' ἐμοὶ μόνωι τὸ κέρδος, τοῦτ' ἐγὼ λαβὼν ἀποίσω· τὸ θανεῖν γὰρ μετὰ πάντων.

book 51.1 Μή με φύγηις ὁρῶσα τὰν

book 51.2 πολιὰν ἔθειραν· μηδ', ὅτι

book 51.3 σοὶ πάρεστιν ἄνθος ἀκμαῖον, τᾶς ἐμᾶς[ln_5]ὥρας φίλτρα διώξηις. ὅρα, κἀν

book 51.4 στεφάνοισιν ὅπως

book 51.5 πρέπει τὰ λευκά ῥόδοις κρίνα

book 51.6 πλακέντα.

book 52.1 Τί με

book 52.2 τοὺς νόμους διδάσκεις καὶ ῥητόρων ἀνάγκας; τί δέ μοι λόγων

book 52.3 τοσούτων τῶν μηδὲν ὠφελούντων; μᾶλλον δίδασκε πίνειν ἁπαλὸν πῶμα Λυαίου, μᾶλλον δίδασκε

book 52.4 παίζειν μετὰ χρυσῆς Ἀφροδίτης.

book 52a.1 Πολιαὶ στέφουσι κάραν· δὸς ὕδωρ, βάλ’ οἶνον ὦ παῖ· τὴν

book 52a.2 ψυχήν μου κάρωσον. βραχύ με ζῶντα καλύπτεις· ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

book 53.1 Ὅτ’ ἐγὼ ’ς νέων ὅμιλον ἐσορῶ, πάρεστιν ἥβα. τότε δή, τότ’ ἐς

book 53.2 χορείην ὁ γέρων ἐγὼ πτεροῦμαι, παραμαίνομαι, κυβηβῶ. παράδος· θέλω

book 53.3 στέφεσθαι· πολιὸν δὲ γῆρας ἐκδύς νέος ἐν νέοις

book 53.4 χορεύσω. Διονυσίης δέ μοί τις φερέτω ῥοὰν ὀπώρης, ἵν’ ἴδηι γέροντος ἀλκήν δεδαηκότος μὲν εἰπεῖν, δεδαηκότος δὲ πίνειν

book 53.5 χαριέντως

book 53.6 τε μανῆναι.

book 54.1 Ὁ ταῦρος οὗτος ὦ παῖ δοκεῖ τις εἶναί μοι Ζεύς φέρει γὰρ ἀμφὶ νώτοις

book 54.2 Σιδωνίαν γυναῖκα· περᾶι δὲ πόντον εὐρύν, τέμνει δὲ κῦμα

book 54.3 χηλαῖς. οὐκ ἂν δὲ ταῦρος ἄλλος ἐξ ἀγέλης ἐλασθείς ἔπλευσε τὴν θάλασσαν, εἰ μὴ μόνος ἐκεῖνος.

book 55.1 Στεφανηφόρου μετ’ ἦρος μέλομαι ῥόδον τέρεινον σὺνεταιρεῖ ἀύξει μέλπειν. τόδε γὰρ θεῶν ἄημα, τόδε καὶ βροτοῖσι χάρμα, Χάρισίν τ’ ἄγαλμ’ ἐν ὥραις

book 55.2 πολυανθέων Ἐρώτων, ἀφροδίσιόν τ’ ἄθυρμα· τόδε καὶ μέλημα μύθοις χαρίεν

book 55.3 φυτόν

book 55.4 τε Μουσῶν. γλυκὺ καὶ πονοῦντ’ ἀγείρειν ἐν ἀκανθίναις ἀταρποῖς, γλυκὺ δ’ αὖ λαβόντα θάλπειν μαλακαῖσι

book 55.5 χερσί, κοῦφον προάγοντ’ ἔρωτος ἄνθος. ἀπορῶ τόδ’ αὖ, τί τερπνόν θαλίαις

book 55.6 τε καὶ τραπέζαις Διονυσίαις τ’ ἑορταῖς δίχα

book 55.7 τοῦ ῥόδου γένοιτ’ ἄν.

book 55.1 ῥοδοδάκτυλος μὲν Ἠώς, ῥοδοπήχεες δὲ Νύμφαι, ῥοδόχρους δὲ κἀφροδίτα

book 55.2 παρὰ τῶν

book 55.3 σοφῶν καλεῖται. τόδε καὶ νοσοῦσιν ἀρκεῖ, τόδε καὶ νεκροῖς ἀμύνει, τόδε καὶ χρόνον βιᾶται· χαρίεν ῥόδων δὲ γῆρας νεότητος ἔσχεν ὀδμήν. φέρε δή, φύσιν λέγωμεν· χαροπῆς ὅτ’ ἐκ θαλάττης δεδροσωμένην Κυθήρην ἐλόχευε πόντος ἀφρῶι, πολεμόκλονόν τ’ Ἀθήνην κορυφῆς ἔδειξεν ὁ Ζεύς, φοβερὰν θέαν Ὀλύμπωι, τότε καὶ ῥόδων ἀγητόν νέον ἔρνος ἤνθισε

book 55.4 χθών, πολυδαίδαλον λόχευμα· μακάρων θεῶν δ’ ὅμοιον ῥόδον ὡς γένοιτο, νέκταρ ἐπιτέγξας ἀνέθηλεν ἀγέρωχον ἐξ ἀκάνθης

book 55.5 φυτὸν ἄμβροτον Λυαῖος.

book 56.1 Ὁ τὸν ἐν πόνοις ἀτειρῆ, νέον ἐν πόθοις ἀταρβῆ, καλὸν ἐν πότοις

book 56.2 χορευτήν

book 56.3 τελέων θεὸς κατῆλθε, ἁπαλὸν βροτοῖσι φίλτρον, πόθον ἄστονον κομίζων, γόνον ἀμπέλου, τὸν οἶνον, πεπεδημένον ὀπώραις ἐπὶ κλημάτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 56.4 φυλάττειν, ἵν’ ὅταν τέμωσι βότρυν ἄνοσοι μένωσι πάντες, ἄνοσοι δέμας θεητόν, ἄνοσοι γλυκύν
book 56.5 τε θυμόν ἐς ἔτους
book 56.6 φανέντος ἄλλου.
book 57.1 Ἆρα τίς τόρευσε πόντον; ἄρα τίς μανεῖσα τέχνα ἀνέχευε κῦμα δίσκωι; ἐπὶ νῶτα τῆς θαλάττης ἄρα τίς ὕπερθε λευκάν ἁπαλὰν χάραξε Κύπριν νόος ἐς θεοὺς ἀερθείς, μακάρων φύσιος ἀρχάν; ὃ δέ νιν ἔδειξε γυμνάν, ὅσα μὴ θέμις δ’ ὁρᾶσθαι μόνα κύμασιν καλύπτει. ἀλαλημένα δ’ ἐπ’ αὐτά βρύον ὥς, ὕπερθε λευκᾶς ἁπαλόχροον γαλήνας δέμας εἰς
book 57.2 πλόον φέρουσα, ῥόθιον πάροιθεν ἕλκει· ῥοδέων δ’ ὕπερθε μαζῶν, ἁπαλῆς ἔνερθε δειρῆς, μέγα κῦμα
book 57.3 πρῶτα τέμνει μέσον αὔλακος δὲ Κύπρις κρίνον ὣς ἴοις ἑλιχθέν διαφαίνεται γαλήνας. ὑπεράργύρωι δ’ ὀχοῦνται ἐπὶ δελφῖσι
book 57.4 χορευταῖς δολερὸν νόον μετοίσων Ἔρος Ἵμερος γελῶν
book 57.5 τε, χορὸς ἰχθύων
book 57.6 τε κυρτός ἐπὶ κυμάτων κυβιστᾶι
book 57.7 Παφίης
book 57.8 τε σῶμα
book 57.9 παίζει ἵνα νήχεται γελῶσα.
book 58.1 Ὁ δραπέτας ὁ Χρυσός ὅταν με
book 58.2 φεύγηι κραιπνοῖς διηνέμοις
book 58.3 τε ταρσοῖς (ἀεὶ δ’, ἀεί με
book 58.4 φεύγει), οὔ μιν διώκω· τίς γάρ μισοῦν θέλει
book 58.5 τι θηρᾶν; ἐγὼ δ’ ἄφαρ λιασθείς τῶι δραπέται τῶι
book 58.6 Χρυσῶι ἐμῶν
book 58.7 φρενῶν μὲν αὔραις φέρειν ἔδωκα λύπας, λύρην δ’ ἑλὼν ἀείδω ἐρωτικὰς ἀοιδάς. πάλιν δ’ ὅταν με θυμός ὑπερφρονεῖν διδάξηι, ἄφνω
book 58.8 προσεῖπ’ ὁ δραπέτας φέρων μέθαν μοι
book 58.9 φροντίδων, ἑλών μιν ὡς μεθήμων λύρης γένωμαι λαροῦ. ἄπιστ’, ἄπιστε
book 58.10 Χρυσέ, μάταν δόλοις με θέλγεις· πλέον λύρης
book 58.11 σου νεῦρα πόθους κέκευθεν ἁδεῖς· σὺ γὰρ δόλων, σύ τοι
book 58.12 φθόνων ἔρωτ’ ἔθηκας ἀνδράσιν·
book 58.1 λύρη δ’ ἄλυπα
book 58.2 παστάδων
book 58.3 φιλαμάτων
book 58.4 τε κεδνῶν πόθων κύπελλα κιρνᾶι. 〈*****〉 ὅταν θέλῃς δέ, φεύγεις λύρης δ’ ἐμῆς ἀοιδάν οὐκ ἂν λίποιμι
book 58.5 τυτθόν. ξείνοις σὺ δ’ ἀντὶ Μουσῶν δολίοις ἀπίστοις ἁνδάνεις ἐμοὶ δὲ τῶι λυροκτύπηι Μοῦσα
book 58.6 φρεσὶν πάροικος· ἀχὰν δέασ ὀρίνοις αἴγλαν τε λαμπρύνοις.
book 59.1 Τὸν μελανόχρωτα βότρυν
book 59.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταλάροις φέροντες ἄνδρες μετὰ παρθένων ἐπ’ ὤμων[ln_3]〈*****〉 κατὰ ληνοῦ δὲ βαλόντες[ln_5]μόνον ἄρσενες

book 59.3 πατοῦσιν

book 59.4 σταφυλῆς λύοντες οἶνον, μέγα τὸν θεὸν κροτοῦντες ἐπιληνίοισιν ὕμνοις, ἐρατὸν πίθοις ὁρῶντες[ln_10]νέον ἐσζέοντα Βάκχον. ὃν ὅταν πίνηι γεραιός, τρομεροῖς

book 59.5 ποσὶν

book 59.6 χορεύει, πολιὰς

book 59.7 τρίχας

book 59.8 τινάσσων. ὁ δὲ παρθένον λοχήσας[ln_15]ἐρατὸς νέος 〈** ***〉 ἐλυσθείς ἁπαλὸν δέμας

book 59.9 χυθεῖσαν

book 59.10 σκιερῶν ὕπερθε φύλλων, βεβαρημένην ἐς ὕπνον.

book 59.1 [ln_20]ὁ δ’ Ἔρως ἄωρα θέλγων 〈*****〉 προδότιν γάμων γενέσθαι. ὁ δὲ μὴ λόγοισι

book 59.2 πείθων τότε μὴ θέλουσαν ἄγχει·[ln_25]μετὰ γὰρ νέων ὁ Βάκχος μεθύων ἄτακτα

book 59.3 παίζει.

book 60.1 Ἀνὰ βάρβιτον δονήσω (ἄεθλος μὲν οὐ πρόκειται, μελέτη δ’ ἔπεστι) πάντηι

book 60.2 σοφίης λαχὼν ἄωτον.[ln_5]ἐλεφαντίνωι δὲ πλήκτρωι λιγυρὸν μέλος κροαίνων

book 60.3 Φρυγίωι ῥυθμῶι βοήσω, ἅτε

book 60.4 τις κύκνος Καΰστρου

book 60.5 ποικίλον

book 60.6 πτεροῖσι μέλπων[ln_10]ἀνέμου σύναυλος ἠχῆι· σὺ δὲ Μοῦσα

book 60.7 συγχόρευε.[ln_11a]〈ἐρέω Δάφνης τὸν οἶτον·〉[ln_12]ἱερὸν γάρ ἐστι

book 60.8 Φοίβου κιθάρη δάφνη

book 60.9 τρίπους

book 60.10 τε.[ln_13]〈*****[ln_13]*****〉[ln_17]τοῦ μὲν ἐκπέφευγα κέντρα[ln_14]λαλέων ἔρωτα

book 60.11 Φοίβου,[ln_15]ἀνεμώλιον τὸν οἶστρον. σαόφρων γὰρ ἐστ 〈έναξεν[ln_16a]θεὸν οὐ θέλουσα κούρη[ln_16b]γαμέτην ἔχειν· ὁ δὲ Ζεύς[ln_16c]ἐλέης’ ἄπωθ’〉 ἀκούσας,

book 60.1 [ln_18]φύσεως δ’ ἄμειψε μορφήν, φυτὸν εὐθαλὲς δ’ ἐπήχθη.[ln_20]ὁ δὲ Φοῖβος ἠὲ Φοῖβος κρατέειν κόρην νομίζων, χλοερὸν δρέπων δὲ φύλλον ἐδόκει

book 60.2 τελεῖν Κυθήρην. [para]ἄγε, θυμέ, πῆι μέμηνας[ln_25]μανίην μανεὶς ἀρίστην· τὸ βέλος φέρε κράτυνον, σκοπὸν ὡς βαλὼν ἀπέλθηις, τὸ δὲ τόξον Ἀφροδίτης ἄφες ὡς θεοὺς ἐνίκα.[ln_30]τὸν Ἀνακρέοντα μιμοῦ, τὸν ἀοίδιμον μελιστήν. φιάλην

book 60.3 πρόπινε

book 60.4 παισίν, φιάλην λόγων ἐραννήν· ἀπὸ νέκταρος

book 60.5 ποτοῖο[ln_35]παραμύθιον λαβόντες

book 60.6 φλογερὸν

book 60.7 φυγόντες ἄστρον *****

book fav1.1 〈τὸν〉 Ἔρωτα γὰρ τὸν ἁβρόν μέλομαι βρύοντα μίτραις

book fav1.2 πολυανθέμοις ἀείδειν. ὅδε καὶ θεῶν δυνάστης,[ln_5]ὅδε καὶ βροτοὺς δαμάζει.

book fav2.1 φέρ’ ὕδωρ, φέρ’ οἶνον ὦ παῖ, μέθυσόν με καὶ κάρωσον· τὸ ποτήριον λέγει μου

book fav2.2

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποδαπόν με δεῖ γενέσθαι.
book fav3.1 δοκέει κλύειν γὰρ ἤδε, λαλέειν
book fav3.2 τις εἰ θελήσηι.
book fav4.1 τί με
book fav4.2 φεύγεις τὸν γέροντα;

Eulogikon public reading copy · View original HTML at eulogikon.org